5

PROBEDRUCK
FÜR DIE MITARBEITER DES CORPVS MEDICORVM

GALENI

IN HIPPOCRATIS PRORRHETICVM I
COMMENTARIA TRIA

CONSPECTVS CODICVM

R = *Vaticanus Regius 175; s. XIV, f. 89^r—179^r*
T = *Trivultianus Mediolanensis 685; s. XV in., f. 193^r —230^r*
L = *Laurentianus Florentinus 75, 5; s. XIV, f. 249^r — 311^r*

Numeri in marginibus pinguius adscripti Kuehnianae editionis (vol. XVI 489—840, Lips. 1829) paginas indicant. Hippocratei libri paginae sunt editionis Littraeanae (Œuvres complètes d'Hippocrate, V 510—572, Paris. 1846), sed lemmatis tripertita Galeni commentarii compositione observata singularum partium paragraphi separatim numeratae praeponuntur, Kuehniani ordinis numeros una cum paginis Littraeanis cancellis saeptos exhibui

ΓΑΛΗΝΟΥ ΕΙΣ ΤΟ ΠΡΟΡΡΗΤΙΚΟΝ ΙΠΠΟΚΡΑΤΟΥΣ ΥΠΟΜΝΗΜΑ ΠΡΩΤΟΝ

* * *

XVI

οὐ μὴν οὐδὲ τὴν Ἡροφίλου νομοθεσίαν ἀποδεκτέον ἐπιχειροῦντος 489 διωρίσθαι πρόγνωσιν προρρήσεως τῷ βεβαίῳ τε καὶ οὐ βεβαίῳ· καὶ γὰρ καὶ προγινώσκομεν ἑκατέρως καὶ προλέγομεν, ὥσπερ καὶ τἆλλα πάντα κατὰ πάσας τὰς τέχνας. ὄμβρους γοῦν καὶ αὐχμοὺς καὶ κρύος καὶ θάλπος ἀνέμους τε καὶ νηνεμίας ἔκ τινων σημείων προγινώσκουσιν καὶ κυβερνῆται καὶ γεωργοί, καὶ ποτὲ μὲν ἀκριβῶς τε καὶ βεβαίως, ποτὲ δ᾽ ἄχρι πιθανῆς ἐλπί|δος. καὶ γέγραπται περὶ τῶν τοιούτων 490 σημείων ἄλλοις τε πολλοῖς καὶ Ἀράτῳ κατὰ τὰ τελευταῖα τοῦ τῶν Φαινομένων βιβλίου. πῶς δ᾽ ἂν δύναιτό τις ἑτέρως προειπεῖν ὁτιοῦν ὡς ἐσόμενον ἄνευ τοῦ πρότερον αὐτὸς γνῶναι; τοῦτο γοῦν αὐτὸ καὶ Ἱπποκράτης ἐδήλωσεν ἐν ἀρχῇ τοῦ Προγνωστικοῦ γράψας ὧδε· „προγινώσκων γὰρ καὶ προλέγων παρὰ τοῖσι νοσέουσιν.“ ἀλλ᾽ ἡ μὲν πρόγνωσις ἐν ταῖς ψυχαῖς ἡμῶν, ἡ δὲ τῶν προγνωσθέντων τοῖς πολλοῖς πρόρρησις διὰ τῆς φωνῆς γίνεται, καὶ δῆλον ὡς οὐκ ἄλλα μὲν ἐν τῇ ψυχῇ δοξάζομεν, ἄλλα δὲ προλέγομεν.

ἀλλὰ γάρ, ὅπως ἂν ἔχοι τὰ τῆς ἐπιγραφῆς τοῦ βιβλίου καταλιπόντες ἑτέροις ἐπιζητεῖν, ὅσοι τῶν ἔργων τῆς τέχνης οὐ πάνυ τι πεφροντίκασιν, αὐτοὶ τῶν γεγραμμένων κατὰ τὸ βιβλίον ἕκαστον ἐπισκεψώμεθα, καθότι κἀπὶ τῶν ἄλλων ἐποιήσαμεν ἃ προεξηγησάμεθα, τοῖς μὲν διορισμούς τινας ἀναγκαίους προστιθέντες οὐκ εἰρημένους ὑπὸ τοῦ γράψαντος, ἔνια δὲ δεικνύντες ὡς οὐκ ἔστι καθόλου, κἂν τῷ χαρακτῆρι τῆς λέξεως ὡς περὶ τοιούτων ὁ συγγραφεὺς φαίνηται διαλεγόμενος.

12 Ἀράτῳ] *Prognostica v. 733 sqq.* 15 Προγνωστικοῦ] *1 (II 110 L.)*
23 ἃ προεξηγησάμεθα] *cf. Gal. XVII A 577. XIX 35*

3 *tit. scripsi tertii hypomnematis titulum in* R *servatum secutus*: Γαληνοῦ ὑπόμνημα εἰς τὸ πρῶτον προρρητικὸν ἱπποκράτους R: Γ. ὑπομνήματα εἰς τὸ πρῶτον βιβλίον τὸ προρρητικῶν ἱπποκράτους L: Γ. ὑπόμνημα εἰς τὸ πρῶτον βιβλίον προρρητικὸν ἱπποκράτους T: Γ. εἰς τὸ πρῶτον βιβλίον τὸ προρρητικὸν ἱπποκράτους ὑπόμνημα α′ *Aldus* 5 *ante* οὐ μὴν *add.* Προοίμιον *Aldus; in mrg. add.* ᾶ L: πρόλογος R *initium deesse notavit primus Rasarius; periisse videtur unum folium; de argumento cf. v. 20* πῶς χειροῦντος T 6 διωρίσθαι R *(cf. Hipp. d. nat. h. 5. VI 40, 17 L.)*: διαιρεῖσθαι LT 7 καὶ *(post* γὰρ) R: *om.* LT 12 τῶν LT: τῶν ἐν ἀέρι R 13 βιβλίων T 14 γοῦν RT: οὖν L 16 τῆσιοσεύουσιν T μὲν *om.* T 17 γνωσθέντων τοῖς πέλας LT 18 δῆλον RT: δῆλον μὲν L 20 ἔχοι LT: ἔχει R τὰ] *superscr.* ταῦτα L² 21 ζητεῖν L 24 τινὰς διορισμοὺς *primo, sed corr. ipse* R προστιθέντες LT: προστίθέντα *sic* R 25 ἔστι *scripsi:* εἶναι *sic* RLT: ὡς *del. Ald.* 26 ὡς περὶ τοιούτων] *sc.* καθόλου ὄντων φαίνηται RL: φαίνεται T

491 **I 1** [I 1. V 510, 2 L.] Οἱ κωματώδεες ἐν ἀρχῇσι γινόμενοι μετὰ κεφαλῆς, ὀσφύος, ὑποχονδρίου, τραχήλου ὀδύνης, ἀγρυπνέοντες ἆρά γε φρενιτικοί εἰσιν; μυκτὴρ ἐν τουτέοισιν ἀποστάζων ὀλέθριον, ἄλλως τε καὶ ἢν τεταρταίοισιν ἀρχομένοισιν.

Τὰ πλεῖστα τῶν παλαιῶν ἀντιγράφων οὐκ ἔχει προσκείμενον τῷ φρενιτικοὶ τὸ εἰσίν. διὸ καὶ ζήτησις ἐγένετο, πότερον ἤδη φρενιτικούς τις ὀνομάσει τοὺς οὕτως ἔχοντας ἢ γενήσεσθαι προσδοκήσει. προσκειμένου μέντοι τοῦ εἰσὶ καὶ γεγραμμένης ὁμοῦ τῆς λέξεως ἆρά γε φρενιτικοί εἰσιν; ἡ ζήτησίς ἐστιν, πότερον εἰσὶν ἢ οὐκ εἰσὶν οἱ οὕτως ἔχοντες ἤδη φρενιτικοί.

ταύτῃ δὲ τῇ ζητήσει καὶ ἄλλη τις οὐ σμικρὰ συνάπτεται ζήτησις, ἣν καὶ περὶ τῆς ἀρχῆς τῶν πυρεκτικῶν παροξυσμῶν ἐποιήσαντο. καὶ γὰρ ἐν ἐκείνοις εὔλογον εἶναι φαίνεται μὴ τὸν ἐσόμενον ὕστερόν ποτε παροξυσμὸν προγινώσκειν ἡμᾶς, ἀλλὰ τὸν ἀρχόμενον ἤδη διαγινώσκειν
492 ἐκ τῆς τῶν σφυγμῶν ἀλλοιώσεως, ἐπεὶ δὲ οὐδέπω | μέγεθος ἀξιόλογον εἴληφεν, ὡς καὶ τῷ νοσοῦντι φαίνεσθαι σαφῶς, ἐκείνῳ μὲν ὡς μέλλον τι λέγεσθαι, γινώσκεσθαι δ' ὑφ' ἡμῶν ὡς ἤδη γεγενημένον, ὁμοίου τοῦ πράγματος ὄντος τῇ διαγνώσει τῶν ἄρτι τῆς γῆς ἀνισχόντων φυτῶν, ἃ γεωργὸς μέν τις ἢ διαγνωστικὸς ἁπάντων φυτῶν εὐθέως γνωρίζει, τοῖς δ' ἄλλοις ἄγνωστά ἐστι. πολλάκις γοῦν ὁρῶμεν ἀρούρας ὁμοιοτάτας τὴν βλάστησιν ἐχούσας πόας, ἃς ἡμεῖς μὲν οὐ διαγινώσκομεν, οἱ γεωργοὶ δὲ ἴσασι, τί μὲν ἐξ αὐτῶν ἐστι πόα, τί δὲ πυρὸς ἄρτι γεννώμενος, τί δὲ κριθή, τί δὲ ζειά, τί δὲ τῶν ἄλλων ἕκαστον. οὕτω δὲ κἀπὶ τῶν δένδρων ἔχει· καὶ γὰρ καὶ ταῦτα συμπεπληρωμένα πᾶσι τοῖς οἰκείοις μορίοις ἅπαντες γνωρίζομεν, ἀρχόμενα δὲ φύεσθαι παντάπασιν ὀλίγοις γνωρίζεται.

τοῦτόν τε οὖν τὸν λόγον ὡς πάνυ πιθανὸν ἀποδεκτέον, ἐφεξῆς δὲ ζητητέον ἐστὶ περὶ τῆς κατὰ τὴν φρενῖτιν ἐννοίας. ἐν γὰρ τοῖς τῶν Ἐπιδημιῶν βιβλίοις, ὡς ἐπιδέδεικταί μοι διὰ τῶν εἰς αὐτὰ γε-
493 γραμμένων ὑπομνημάτων, ὁ Ἱπποκράτης φαίνε|ται τὴν ἐν ὀξεῖ πυ-

29 Ἐπιδημιῶν] *cf. III 3, 6 (III 82, 6 L.) cf. Gal. XVII A 699.*

1 *lemmatis Hippocratis numeros α' sqq. superscribit Kuehniana* κωμματώδεις L 3 ἆρα RLT, *Hipp. (cf. infra 6, 15):* ἦρα *sec. Hipp. D Littré* εἰσὶν *om.* L *cf. ad v. 5* 4 ἢν R: ἐν LT *(cf. 7, 17. 27);* ἢν *fortasse translatum est ex* ἢ *Coac. praen. 175* ἄλλως τε καὶ τεταρταίοισιν ἐοῦσιν ἢ ἀρχομένοισιν τετάρτοισιν T 5 τῷ φρενητικοὶ· τὸ εἰσίν RT: τὸ φρενιτικοὶ εἰσὶ L 6 εἰσί *etiam in Coac. 175 deest* 7 γινήσεσθαι L 12 καὶ *(post* ἣν*) om.* T 16 ἐκείνω RT: ἀπ' *add. super* ἐκείνωι L^2 μὲν RT: μὲν μόνον L 17 λέγεσθαι RT: *item, sed corr. m. 2* λέγεται, L ἡμῶν LT: ὑμῶν R γενόμενον L ὁμοίου τε τοῦ L 19 γεωργικὸς T ἅπασι τοῖς φυτοῖς L 21 τὴν βλάστησιν R: λιβάσιν LT μὲν *om.* LT 22 γεννώμενος R: γενόμενος LT τί δὲ κρ. RT: ἢ κρ. L 23 οὕτω δὲ *iterat* T 24 καὶ γὰρ καὶ RL: καὶ T συμπεπληρωμένοις R; συμπεπληρωμένα ⟨μὲν ἅ⟩πασι *H. Schoene* 25 ἅπαντα T ὀλίγα T 26 γνωρίζεται LTR^2: γνωρίζεσθαι R 27 τε οὖν RLT: *fort.* μὲν οὖν; τοίνυν *coni. Mewaldt* 28 τὴν φρενῖτιν L: τὴν φρενίτην T: φρενίτην R 29 ὡς . . . μοι *om.* L

ρετῷ διηνεκῆ παραφροσύνην φρενῖτιν ὀνομάζων. διηνεκῆ δὲ εἶπον, ἐπεὶ ταῖς ἀκμαῖς τῶν σφοδρῶν πυρετῶν ἐνίοτε παραφροσύναι συνεμπίπτουσιν ἐν ταῖς παρακμαῖς εὐθέως παυόμεναι. μαίνεσθαι μὲν γὰρ ὀνομάζουσιν ἅπαντες ἄνθρωποι τοὺς ἄνευ πυρετοῦ παραφρονοῦντας, φρενιτίζειν δὲ τοὺς ἐν πυρετῷ. τὸ δ᾽ ἐν ἀκμῇ σφοδροῦ πυρετοῦ [παραφρονῆσαι] παρακόψαι τε καὶ παραχθῆναι καὶ παραληρῆσαι καὶ αὐτὸ δὴ τοῦτο παραφρονῆσαι καλοῦσιν. φρενῖτιν δ᾽ οὐκ ὀνομάζουσιν ἄνευ τοῦ πυρέττειν καὶ τοῦ διηνεκοῦς τῆς παραφροσύνης. τῷ διηνεκεῖ δὴ τῆς παραφροσύνης, ὅταν ἅμα πυρετῷ γένηται, τὴν φρενῖτιν γνωριοῦμεν. οὐδὲν δὲ ἧττον ἐροῦμεν εἶναι φρενιτικούς, ὅσοι κωματώδεις ὄντες οὐ σωφρονοῦσιν, ἀλλὰ παράφορά τε φθέγγονται καὶ πρὸς τῶν παρόντων διεγερθέντες ἐκτεθαμβημένοις ἐοίκασιν. οὕτω γοῦν κἀν τῷ τρίτῳ τῶν Ἐπιδημιῶν ἔφη· „οὐδ᾽ ἐξεμάνη τῶν φρενιτικῶν οὐδεὶς ὥσπερ ἐπ᾽ ἄλλων, ἀλλ᾽ ἄλλῃ τινὶ νωθρῇ καταφορῇ καρηβαρέες ἀπώλοντο.“ καὶ | τοῦτον οὖν τὸν λόγον ἐγὼ ὡς πιθανώτατον προσδέχομαι καὶ καλεῖσθαι **494**
πάντας ὑφ᾽ Ἱπποκράτους ἡγοῦμαι φρενιτικούς, ὅσοι τὰς φρένας βεβλαμμένοι διηνεκῶς εἰσιν ὥσπερ οἱ μαινόμενοι, μόνῳ τῷ πυρέττειν αὐτῶν διαφέροντες. ἐπεὶ δ᾽ ὡς τὰ πολλὰ τούτοις ὑπάρχει καὶ τῶν βλεφάρων ἀνεῳγότων ἀγρυπνεῖν, οἱ πλεῖστοι τῶν ἰατρῶν ἐν τοῖς παθογνωμονικοῖς φρενίτιδος καὶ τὴν τοιαύτην ἀγρυπνίαν ἔγραψαν. εἶπον δὲ τοιαύτην, ἐπεὶ καὶ μετὰ κώματος ἀγρυπνίαι γίνονται, καθάπερ αὐτὸς ἐδήλωσεν ἐν τῷ τρίτῳ τῶν Ἐπιδημιῶν εἰπών· „ἦν δὲ ἢ τὸ κῶμα συνεχές, οὐχ ὑπνῶδες, ἢ μετὰ πόνων ἄγρυπνοι“, ὡς εἶναι τὸ κῶμα τὴν εἰς ὕπνον καταφορὰν οὐ δυναμένων τῶν ἐχομένων τῷ συμπτώματι τὰ τῶν ἐγρηγορότων πράττειν, ἀλλὰ κλείειν τε τὰ βλέφαρα δεομένων ἐλπιζόντων τε κοιμηθήσεσθαι. συμβαίνει δ᾽ ἐνίοτε τούτων τισὶν μὴ δύνασθαι κοιμηθῆναι, κλεισθέντων τῶν βλεφάρων, ἀλλ᾽

13 τῷ τρίτῳ τῶν Ἐπιδημιῶν] *III 3, 6 (III 82, 6 L.)* 22 τῷ τρίτῳ τῶν Ἐπιδημιῶν] *III 3, 6 (III 82, 6 L.)*

2 ταῖς μὲν ἀκμαῖς LT παραφροσύν *(suppl. m. 2, et similiter in proximis* παυόμεν παρακόψ) L συνεμπίπτουσιν L: συμπίπτουσιν T: ἐμπίπτουσιν R 4 πάντες R 5 σφοδροῦ *om.* L: *transp. post* πυρετοῦ T παραφρονῆσαι *del. Mewaldt* 6 παρακόψε τε, *corr. in* -εται T παραλῆσαι T 7 ἄνευ . . . ὅταν (9) R: ἄνευ μὴ τῶ διηνεκεῖ τῆς παραφροσύνης ὅταν γὰρ L: ἄνευ τοῦ πυρέσσειν καὶ τῶ διηνεκεῖ τῆς παραφροσύνης ὅταν γὰρ T 8 πυρέσσειν RLT δὴ *Kalbfleisch:* δὲ RLT 10 ἐροῦμεν LT: ὀρῶμεν *(sic)* R: ὁρῶμεν *ab Aldo edd.* 11 πρὸς τῶ παρόντι T 14 ἄλλων RLT: ἄλλοισιν *Hipp., Gal. VII 655, 14:* ἄλλοις *idem infra 579, 1* καρηβαρέες RT: κακῆι βαρέες L *(cf. Hipp.* καταφορῇ κακῇ νωθρῇ βαρέως): *verum serv. Gal. et hic et p. 578, 18; at idem VII 655, 15* καταφορῇ νωθρῇ βαρέως ἀπώλλοντο RT: ἀπόλωντο L: ἀπώλλυντο *Gal. l. c., Hipp. (C), quo tendunt* RT: ἀπώλοντο *Hipp. vulg.* 15 ἔγωγ᾽ *Kalbfleisch* 17 εἰσιν *scripsi*: ὦσιν R: εἰσὶ, *sed post* φρένας *transpositum* LT ὥσπερ RT: ὡς L τῷ ⟨μὴ⟩ πυρέττειν *perperam Cornarius* 18 διαφέροντες LT *(sc.* οἱ φρενιτικοὶ τῶν μαινομένων): διαφέρονται R τὸ πολὺ L καὶ *om.* LT 22 ἐν . . . εἰπών *om.* L ἦν *scripsi*: ἢν RLT: κατεῖχε *Hipp., Gal. VII 650, 9 K.* ἢ τὸ *Hipp.:* ἢ τὸ RLT 23 ἄγρυπνοι *Hipp.*: ἀγρυπνῆ R¹L: ἀγρυπνεῖ R²T 25 κλύειν T 26 κοιμηθήσεσθαι RL: κοιμηθῆναι T *(cf. v. 27)* τούτων L: *om.* R

ἀγρυπνεῖν ἐπὶ πλεῖcτον, ὅπερ ὠνόμαcεν ὁ Ἱπποκράτηc „οὐχ ὑπνῶδεc“
495 κῶμα. περὶ μὲν οὖν τοῦ κατὰ κῶμα cημαινομένου | βιβλίον ὅλον ἔχειc ἡμέτερον, ἐν ᾧ διὰ πλειόνων μαρτυριῶν ἐπιδέδεικται πᾶcαν ὀνομάζων καταφορὰν ὁ Ἱπποκράτηc κῶμα, καὶ νῦν οὐδὲν θαυμαcτὸν τοὺc αὐτοὺc ἅμα τε κωματώδειc εἰρῆcθαι καὶ ἀγρυπνοῦνταc. ὡc εἴ γε κωματώδειc μὲν ἦcαν, ἀγρυπνίαc δὲ χωρίc, οὐδ᾿ ἂν ἐζήτηcα, εἰ φρενιτικοὺc ὀνομαcτέον αὐτοὺc εἴτε ὄνταc ἢ γενηcομένουc· ἀεὶ γὰρ οὕτωc ἄκουέ μου διὰ τὰ προηγούμενα τῆc πρώτηc γενέcεωc ἁπάντων πραγμάτων, οὐ μόνων τῶν παθῶν. οὐ μὴν οὐδ᾿ εἰ τὰ νευρώδη μέρη κακῶc διέκειτο μετ᾿ ἀγρυπνίαc ἐν ἀρχῇ τοῦ νοcήματοc, οὐκ ἂν οὐδ᾿ οὕτωc ἐζήτηcα, εἰ φρενιτικοὺc ὀνομαcτέον αὐτούc. οἵ τε γὰρ ἄνευ τῆc ἀγρυπνίαc κωματώδειc οὐδ᾿ ὅλωc φρενιτικοί, οἵ τε ἄγρυπνοι χωρὶc κώματοc, ὅταν ἐν ἀρχῇ τοῦτο πάcχωcι μετὰ τῆc τῶν εἰρημένων μορίων ὀδύνηc, ἐξ ἀνάγκηc φρενιτικοί. μιχθείcηc δ᾿ ἀγρυπνίαc τῷ κώματι ἀμφιβολία γίνεται, καὶ διὰ τοῦτο τῷ λόγῳ τὸν ἆρα cύνδεcμον προcέθηκεν, ὃν περιcπῶντεc τῷ τόνῳ λέγομεν, ὅταν περί τινων πραγμάτων |
496 ἀποροῦντεc τύχωμεν.

ὃ δὲ κἀν τοῖc ἐφεξῆc ἐcτι μεμνῆcθαι χρήcιμον ἀκούcανταc ἅπαξ, ἀεὶ δεῖ πρόχειρον ἔχειν ἀφορίζονταc τὰ διά τι τῶν ἔξωθεν αἰτίων γεγονότα καὶ τὰ κατὰ τὸν τοῦ νοcήματοc λόγον ἐπιφαινόμενα. ἐὰν γὰρ ὁδοιπορήcαc τιc cυντόνωc ἢ κατ᾿ ἄλλαc τινὰc ἐνεργείαc κοπωθεὶc ἢ καὶ cὺν αὐτοῖc ἐκκαυθεὶc ἅμα τε πυρέττειν ἄρξηται καὶ κεφαλὴν ἀλγεῖν καὶ ὀcφὺν καὶ ὑποχόνδριον καὶ τράχηλον, μηδὲν ἐκ τούτων ἔλπιζε μέγα λήψεcθαι γνώριcμα πρὸc διάκριcιν τῶν ἐcομένων ἢ γεννωμένων ἤδη παθῶν. εἰ δ᾿ ἄνευ τῆc ἔξωθεν αἰτίαc ὀδύναι τῶν εἰρημένων εἶεν μορίων, εἰ μὲν ἀγρυπνίαι τῷ κάμνοντι χωρὶc καταφορᾶc cυμβαίνοιεν, ἔλπιζε παραφρονήcειν αὐτόν· εἰ δὲ μετὰ κώματοc, cυμβάλλει κατὰ τὸ παρὸν ἀναμένειν ἡμέραν μίαν, ἐν ᾗ τὴν κίνηcιν τοῦ νοcήματοc διαγνώcῃ. φρενῖτιc μὲν γὰρ ἡ ἀκριβὴc καὶ ἄμικτοc ἑτέρῳ νοcήματι γίνεται χολῆc ξανθῆc καταλαβούcηc τὸν τόπον, ἐν ᾧ τὸ τῆc ψυχῆc ἡγεμονοῦν ἐcτιν· λήθαργοc δὲ τὸν αὐτὸν τόπον ὑγράναντόc τε |

2 βιβλίον] *Gal.* Περὶ τοῦ παρ᾿ Ἱπποκράτει κώματοc *VII 643 sqq. K.*

1 ὁ *om.* L οὐχ R: *om.* LT 2 κατὰ ⟨τὸ⟩ *H. Schoene* 4 *post* θαυμαcτὸν *add.* ἐcτὶν L 5 *post* τε *add.* καὶ L 6 μὲν] μόνον T ἐζήτηcα LT: ἐζήτηcεν R 7 ἢ] εἴτε *Mewaldt* 8 τὰ προειρημενα διὰ τῆc πρώτηc L 9 μόνων R¹T¹: μόνον LR²T² 11 *post* γὰρ *add.* οὖν L 13 ὅταν RT: ὅπερ L 14 μιχθέντοc δ᾿ ἀγρυπνίᾳ (ἀγρυπνίαc L) τοῦ κώμματοc LT 15 προcέθηκε R: *post* τοῦτο *transp.* L: προcτίθεμεν T 16 περιcπᾶν L λέγωμεν T 18 ἀκούcανταc L: ἀκούcαντεc R: ἀκούcαντα *et postea* ἀφορίζοντα *compendiose scripta* T *(fortasse recte)* 19 ἀεὶ δεῖ *scripsi propter hiatum:* δεῖ ἀεὶ RLT 23 ἀλγεῖν cὺν ὀcφύϊ καὶ ὑποχονδρίωι καὶ τραχήλωι LT 24 γεννωμένων R: γενομένων L: γινομένων T 25 ὀδύναι RLT *Aldus:* ὀδύνη *a Basil. edd.* 26 ἀγρυπνοῦντι L 29 διαγνώcῃ LT: διαγνώcηc R *post* διαγνώcῃ *add. spatio relicto* ὅτι ὁ [ὁ *om.* T] ἀκριβὴc φρενῖτιc ὑπὸ [ἀπὸ T] χολῆc ξανθῆc γίνεται L *text.*, T *marg.* γὰρ *om.* L

καὶ διαβρέξαντος φλέγματος· αἱ γὰρ ἐν ἑτέροις τισὶ μέρεσι δυνάμεναι 497 εἰς συμπάθειαν ἀγαγεῖν τὸν ἐγκέφαλον ἐκ χολῆς καὶ φλέγματος βλάβαι τὸ διηνεκὲς οὐκ ἔχουσιν. ὅταν οὖν ὑπ᾽ ἀμφοτέρων τῶν χυμῶν ἐνοχλεῖσθαι συμβαίνῃ τὸν ἐγκέφαλον, ἐναντία συμπτώματα καταλαμβάνει τὸν ἄνθρωπον, ὡς ἀγρυπνεῖν τε ἅμα καὶ καταφέρεσθαι κατ᾽ ὀλίγον. ὅταν δὲ καὶ καταφέρηται ἅμα καὶ παραφρονῇ, τὴν μικτὴν διάθεσιν διαμένειν αὐτῷ νομιστέον. ἐνίοτε δὲ ἐπὶ θάτερον ἔρρεψεν, ὡς ἤτοι τὴν χολὴν ἢ τὸ φλέγμα νικῆσαι καὶ γενέσθαι τὸν ἄνθρωπον ἤτοι φρενιτικὸν ἀκριβῆ ἢ ληθαργικόν. ἐγὼ μὲν οὖν, ὅταν ἄχρι τέλους ἥ τε παραφροσύνη καὶ τὸ κῶμα διαμείνῃ, μικτὸν ὀνομάζω τοῦτο τὸ πάθος φρενίτιδός τε καὶ ληθάργου. τινὲς δὲ τυφομανίας ἐκάλεσαν, ὡς κἀν τῷ Περὶ νούσων Ἱπποκράτει γέγραπται, κατὰ μέντοι τὸ τρίτον τῶν Ἐπιδημιῶν, ὡς ἔφην ἀρτίως, ἅπαντας ὀνομάζει φρενιτικοὺς ὁ Ἱπποκράτης, ὅσοι διηνεκῶς παραφρονοῦσι πυρέττοντες.

ὑπόλοιπον δέ ἐστι ζητῆσαι, διὰ τί τῆς ῥήσεως ἀρχόμενος μὲν εἶπεν οἱ κωματώδεες ἐν ἀρχῇ|σιν, τελευτῶν δὲ πάλιν ἄλλως τε 498 καὶ τεταρταίοισιν ἀρχομένοισι. τὸ γὰρ τῆς ἀρχῆς ὄνομα δηλοῖ μὲν καὶ τὴν πρώτην εἰσβολὴν τοῦ νοσήματος, δηλοῖ δὲ καὶ τὴν ἐν πλάτει νοουμένην ἄχρι τῆς τρίτης ἢ τετάρτης ἡμέρας, δηλοῖ δὲ καὶ τὸν πρῶτον καιρὸν τοῦ νοσήματος, ὅταν εἰς τέσσαρα μέρη διελόντες αὐτὸν εἴπωμεν ἐξ ἀρχῆς τε καὶ ἀναβάσεως ἀκμῆς τε καὶ παρακμῆς συγκεῖσθαι. περὶ μὲν οὖν τοῦ σημαίνεσθαι ταῦτα παρὰ τοῦ τῆς ἀρχῆς ὀνόματος ἐν τῷ πρώτῳ τῶν Περὶ κρίσεων ἐπιδέδεικται. νυνὶ δὲ ἐπισκεψώμεθα, κατὰ ποῖον αὐτῶν σημαινόμενον εἴρηται τοὔνομα. δοκεῖ δέ μοι κατὰ μὲν τὸ πρῶτον μέρος τῆς ῥήσεως ἀρχὴν εἰρηκέναι τὴν κατὰ πλάτος εἰσβολὴν ὅλου τοῦ νοσήματος, ἐπὶ δὲ τῆς τελευτῆς, ἔνθα φησίν ἄλλως τε καὶ τεταρταίοισιν ἀρχομένοισιν, ἄρχεσθαι τηνικαῦτα λέγειν μόνα τὰ προειρημένα συμπτώματα, φθάνοντος ἤδη πυρέττειν ἐκ τεττάρων ἡμερῶν τοῦ νοσοῦντος, ἵν᾽ ἐν τῇ κατὰ πλάτος ἀρχῇ τὴν γένεσιν ἴσχῃ τό τε κῶμα καὶ ἡ ἀγρυπνία καὶ τὰ τῶν νευρωδῶν μορίων ἀλγήματα. κατὰ μὲν γὰρ τὴν πρώτην ἢ δευ|τέραν ἡμέραν 499

12 Περὶ νούσων] *immo Epidem. IV 13 (V 150, 21 L.).* 23 Περὶ κρίσεων] *I 2—4 (IX 551 sqq. K.).*

1 φλέγματι L 3 χυμῶν (*ex* χυλῶν?) L² 4 ἐνοχλῆσθαι L συμβαίνῃ *scripsi:* συμβαί (ν suprascr.) R: συμβαίη T: συμβήσεται L 5 ὀλίγον RT: ἀλλήλων L δὲ ἅμα καταφέρηται καὶ π. L 6 τὴν *om.* L 7 διαμένειν RL: διαφέρειν T ἔρριψεν T 7—12 ἐνίοτε...γέγραπται *om.* L 9 ἀκριβῆ RT: ἀκριβῶς *Aldus, at cf. 6, 29* 10 τὸ πάθος τοῦτο *colloc.* T 11 τυφομανίας *(ex. Hipp. l. c.) Aldus:* τυφομανίαν R: τυφλομανίαν T 15 μὲν *om.* T 16 κωματώδεις T: κωμματώδεις L 17 *post* καὶ *hic et v. 27 om.* ἣν *lemmatis (p. 4, 4)* RLT 20 διελόντα T 21 αὐτὸν] *sc.* καιρὸν? αὐτὸ *(cum hiatu) Schoene* εἴπωμεν R: λέγωμεν LT ἐξ ἀρχῆς ... συγκεῖσθαι *om.* L 22 οὖν *om.* T παρὰ RT: πρὸς L 23 τῶν *om.* T κράσεων L νυνὶ ... φησίν *(27) om.* L 24 αὖ τῶν σημαινομένων *Kalbfleisch* 25 ἀρχῆς T 26 πλάτος T: πλάτον R εἰσβαλὴν T 28 φθάνοντος ... νοσοῦντος *om.* L φθάνοντος T: φθάνοντα R τεταρτέων T 30 ἴσχῃ T: ἴσχει RL 31 *post* ἀλγήματα *add.* περὶ τὴν δ′ ἡμέραν L γὰρ *om.* LT ἡμέραν *om.* L

ἐκ πλήθους αἵματος ἔχοντός τινα δριμύτητα δακνώδη δι' ἐπιμιξίαν χολῆς δύναται γενέσθαι κωματώδης τε καὶ ἄγρυπνος ὁ αὐτὸς ἄνθρωπος, ὑπὸ μὲν τοῦ πλήθους τοῦ αἵματος βαρυνομένης τῆς κατὰ τὸν ἐγκέφαλον δυνάμεως, ὑπὸ δὲ τῆς χολῆς ἐρεθιζομένης, ὡς ὑπνοῦν κωλύεσθαι. κατὰ δὲ τὴν τετάρτην ἡμέραν τοῦ πλήθους ἤδη συνῃρημένου καὶ μάλιστα ἐὰν ὁ ἰατρὸς αὐτὸ φθάσῃ κενῶσαι καὶ τῆς δριμύτητος πεπεμμένης, χρὴ ἀμφότερα παύεσθαι τὰ συμπτώματα, καὶ τὸ κῶμα καὶ τὴν ἀγρυπνίαν. ὅταν οὖν ἐν ᾧ χρόνῳ πεπαῦσθαι ἐχρῆν αὐτά, γινόμενα φαίνηται, χολὴν ἢ φλέγμα δηλοῖ κατειληφέναι τὸν ἐγκέφαλον, οὐχ αἵματος πλῆθος.

εἴρηται δὲ ἐν τῷ Περὶ κρισίμων ἡμερῶν ἡ τῆς τετάρτης δύναμις, ἐξηγουμένων ἡμῶν ἐν αὐτοῖς τὴν Ἱπποκράτους γνώμην, ὥσπερ κἀν τοῖς Εἰς τὸ προγνωστικὸν ὑπομνήμασιν· 'ἐπίδηλον' γὰρ εἶναί φησιν αὐτὴν τῆς ἑβδόμης, ὅπερ ἐστὶ προδηλοῦν πεφυκέναι, ὁποία τις ἡ ἑβδόμη γενήσεται. μοχθηροῦ μὲν οὖν ἐν τῇ τετάρτῃ φανέντος σημείου μοχθηρὰν ἀναγκαῖον ἔσεσθαι καὶ τὴν ἑβδόμην, σωτηρίου δὲ καὶ ἀγα-|
500 θοῦ καὶ τὴν ἑβδόμην ἀγαθὴν γενήσεσθαι. κατὰ γὰρ τὴν ἀναλογίαν τῆς τοῦ σημείου δυνάμεως τὸ ἧττόν τε καὶ μᾶλλον ἀγαθὴν ἢ κακὴν γενέσθαι τὴν ἑβδόμην ἡμέραν ἀκόλουθον. δέδεικται γὰρ ἐν τῷ Προγνωστικῷ τὰ μὲν μᾶλλον, τὰ δὲ ἧττον ὀλέθριά τε καὶ σωτήρια τῶν σημείων. καὶ τὴν ἑβδόμην οὖν ἀνάλογον κατὰ τὴν τετάρτην ἤτοι μᾶλλον ἢ ἧττον ἀγαθήν τε καὶ κακὴν γενέσθαι συμβήσεται.

τῆς οὖν ἀπὸ τῶν ῥινῶν στάξεως οὔσης ἀεὶ κακοῦ σημείου τελειοτάτη κακία δηλοῦται τοῦ νοσήματος, ἐὰν ἐν τῇ τετάρτῃ τῶν ἡμερῶν γένηται. φαίνεται γὰρ ἐγκεχειρηκέναι μὲν ἡ φύσις ἀπορρίψασθαι τὸ κατὰ τὴν κεφαλὴν ἠθροισμένον πλῆθος, οὐ δεδυνῆσθαι δέ. πρόδηλον δ' ὅτι κάκιστόν ἐστι τὸ γένος τῶν τοιούτων σημείων. καὶ γὰρ ὅσα φύματα καὶ ἐξανθήματα πρὸς τὸ δέρμα τοῦ βάθους ἐξανθήσαντα παλινδρομεῖ, χαλεπώτατα πάντων ἐστί. καὶ οἱ ἀρξάμενοι μὲν ἱδρῶτες, εὐθέως δὲ παυσάμενοι, καὶ οὗτοι μοχθηροί, καὶ τὰ διαχωρήματα δ' ὁμοίως ὅσα τε δι' αἱμορραγιῶν ἢ μήτρας ἐπὶ γυναικῶν κενοῦται.

11 Περὶ κρισίμων ἡμερῶν] *I 4 (IX 785 K.), 8 (808), 11 (821) inpr. II 5 (871).* 13 τοῖς Εἰς τὸ προγνωστικὸν ὑπομνήμασιν] *III 1 (XVIII B 232).* φησιν] *Hipp. Aphor. II 24 (IV, 476, 112).* 19 ἐν τῷ Προγνωστικῷ] *universe.*

2 ὁ ἄνθρωπος αὐτὸς L 3 τῆς . . . δυνάμεως *om.* L 5—8 κατὰ δὲ . . . ἀγρυπνίαν *om.* L 6 φθάσῃ *Aldus:* φθάσει RT 8 *post* ἐχρῆν *add.* εἰ L 9 γενόμενα T φένοιται R: φαίνεται L: φαίνοιτο T ἢ] καὶ *Gadaldinus* δηλῆι L 11 τῷ] τοῖς 12 ἐν αὐτοῖς *om.* L 13 ἐπίδηλον . . . πεφυκέναι *om.* L 15 οὖν *et* τῇ *om.* L 16 *post* ἑβδόμην *add.* ἡμέραν L 19 ἀκολουθήσει L: ἀκολου$^{θ'}$ T 21 *post* τετάρτην *add.* ἡμέραν T 23 τῶν LT: *om.* R 25 ἐκκεχειρηκέναι T 26 πρόδηλον . . . κενοῦται (31) *om.* L 28 ἐξανθήσαντα] *in mrg.* ἐξωσθέντα ἢ ἐξορμίσαντα T παλινδρομῇ RLT (*cf. 5, 17* ὦσιν R) 30 καὶ οὗτοι] κὰ τοῦτοι T 31 αἱμορραγιῶν RT: αἱμορροΐδων *coniectum a Gadaldino receperunt a Charterio edd.*

πάντα γὰρ | ταῦτα χείρω τῶν μηδ᾽ ὅλως ἐπιφανέντων, ὅταν ἀρξάμενα 501
παύσηται. ἐνίοτε γὰρ συμβαίνει πέττουσαν ἔτι τὰ λυποῦντα τὴν φύσιν οὐδέπω τῆς ἀποκρίσεως αὐτῶν ἔχεσθαι. τῶν δ᾽ ἀρξαμένων μέν, εὐθέως δὲ παυσαμένων ὥσπερ ὁρμή τις ἐμφαίνεται τῆς φύσεως ἐκκρῖναι τὰ λυποῦντα σπευδούσης καὶ οὕτως δι᾽ ἀσθένειαν μὴ δυναμένης ὃ προὔθετο κατεργάσασθαι.

I 2 [I 2. V 510, 5 L.] Κοιλίης περίπλυσις ἐξέρυθρος κακὸν μὲν ἐν πᾶσιν, οὐχ ἥκιστα δὲ ἐπὶ τοῖς προειρημένοις.

Ὁ μὲν οὖν Ἱπποκράτης ἔν τε τῷ Προγνωστικῷ συγγράμματι τῶν σημείων ἑκάστου διδάσκει τὴν δύναμιν, ἐπὶ τέλει τε τοῦ βιβλίου συμβουλεύει τὰς δυνάμεις τῶν εἰρημένων σημείων ʻἐκλογιζόμενονʼ, ὅπερ ἐστὶν ἀλλήλοις παραβάλλοντα, τὴν πρόγνωσιν οὕτω ποιεῖσθαι. τινὰ μὲν γὰρ | ὁμοειδῆ τῶν σημείων ἐστίν· ἄκουε δέ μου νῦν οὕτως ὁμοειδῆ 502
λέγοντος, ὡσεὶ καὶ ὁμογενῆ φθάσας εἶπον· ἔνια δὲ οὔτε γένος ἔχει ταὐτὸν οὔτε εἶδος. ὁμοειδῆ μὲν οὖν ἐστιν τὰ καθ᾽ ἕν τι πάθος γιγνόμενα· τὰ μὲν ἀναπτυόμενα τῆς κατὰ πνεύμονα καὶ θώρακα καὶ τραχεῖαν ἀρτηρίαν καὶ λάρυγγα, συνελόντι δὲ φάναι τῶν ἀναπνευστικῶν ὀργάνων, διαθέσεώς ἐστι σημεῖα· τῶν δ᾽ αὐτῶν τούτων ὅσα κἀπὶ τῆς ἀναπνοῆς πλημμελεῖται πρώτως· ἔξωθεν γὰρ αὐτῶν ἐστιν τὰ κατὰ συμπάθειαν. ἐγκεφάλου δὲ καὶ μηνίγγων, ὅπως διάκειται, σημεῖα διὰ μὲν τῶν ἐκκρινομένων, οἷ᾽ ἅττα διὰ μυκτήρων ἢ ὑπερῴας κενοῦται, διὰ δὲ τῶν βεβλαμμένων ἐνεργειῶν ἐν καταφοραῖς ἢ ἀγρυπνίαις ἢ παραφροσύναις ἢ σπασμοῖς ἢ τρόμοις ὅλου τοῦ σώματος. ἐὰν οὖν ἅμα παραφρονῇ καὶ σπᾶταί τις, εὔδηλον ὅτι μείζων ἐστὶν ἡ διάθεσις ἢ εἰ τὸ ἕτερον ἦν μόνον· οὕτω δὲ κἂν δυσπνοῶν εὐθὺς καὶ πτύῃ μέλανα. καὶ ταῦτα μὲν οὖν ἴσως οὐκ ἄν | τις ὀρθῶς ἀλλήλοις ἐπιπλέκοι 503
διὰ τῆς ἐν βιβλίοις διδασκαλίας. ἀρκεῖ γὰρ ἑκάστου τὴν δύναμιν εἰπεῖν ἐπιτρέψαντα τῷ μανθάνοντι σκοπεῖσθαι πάντα ἐπὶ τῶν ἀρρώστων. ἡ δὲ τῶν ἑτερογενῶν σημείων ἐπιπλοκὴ παντάπασιν ἄχρηστος ἐν

9 Προγνωστικῷ] *c. 1 sqq. (II 110 sqq. L).* 10 τέλει] *c. 25 (II 188, 10).* 14 ὁμογενῆ] *periitne initio locus? cf. in Prognost. III 37 [XVIII B 298, 3 K.].*

5 καὶ οὕτως δι᾽ ἀσθένεια RT: οὕτως ἀθένειαν L 8 μὲν LT: *om.* R πᾶσιν L *ut Gal. in Epid. III B 8 (XVII B 639) et Hipp. codd.:* πᾶσι τοῖς νουσήμασι RT τοῖσι προειρημένοισιν *Hipp. codd.* 9 οὖν *om.* L τε *om.* L συγγράμματα T 11 ἐκλογιζόμενον RLT *(Hipp. Paris. Suppl. 446; cf. Gal. infra 10,4 et XVIII B 297):* λογιζόμενον *Hipp. vulg.* 13 τῶν σημείων...ὁμοειδῆ *om.* L 14 λέγοντα T ὡσεὶ καὶ RT: ὡς εἶναι L 15 εἶδος *et* γένος *mutat* L 16 *post* γιγνόμενα *suppl.* ⟨δῆλον γὰρ⟩ *Schoene:* ⟨καὶ⟩ *Mewaldt* τὰ μανὰ πτυόμενα τῇ κατὰ L 17 συνελόντι LT: συνελόντα R *(cf. Doxogr. p. 53)* 18 ἐστι *Cornarius*: εἶναι RLT 20 δὲ *Basileensis*: τε RLT 21 οἷ᾽ ἅττα *Schoene:* οἷα τὰ R: οἷα τὸ L: οἷα T ἢ καὶ ὑπερῴας L κενοῦται *Charterius*: κενοῦνται RLT 23 ἅμα RT: ἅμα τε L 25 μέλαϊνα RT 27 ἐν βιβλίοις *(ut 9, 29. 10, 1)* LT: ἐν τοῖς βιβλίοις R

βιβλίοις τε γραφομένη καὶ διὰ τῆς ἐν τοῖς λόγοις συνουσίας εἰς γυμνασίαν ἤκουσα. μετὰ γὰρ τὴν τῶν ἁπλῶν ἑκάστου δύναμιν ὁρισθεῖσαν ἀρκεῖ μόνον ἐφεξῆς ἅπαξ εἰπεῖν, ὅπερ εἶπεν ὁ Ἱπποκράτης, ὡς ἐκλογίζεσθαι δεῖ τῶν σημείων τὰς δυνάμεις καὶ παραβάλλειν ἀλλήλοις εἰς τὴν περὶ τῶν καμνόντων ἀπόφασιν. ἐὰν δέ τις εἰπὼν κακὸν εἶναι σημεῖον οὖρα μέλανα προσθῇ τούτῳ κάκιον εἶναι, κἂν πτύῃ μέλανα, καὶ τούτου πάλιν ἐφεξῆς φήσῃ, κἂν διαχωρήσῃ δὲ μέλανα, εἰ δὲ καὶ κατ' ἀρχάς, ἔτι κάκιον, ἐφεξῆς τε πάλιν ἔτι κάκιον εἶναι φήσῃ τεταρταίῳ συμβῆναι τοῦτο, προσθῇ δὲ τούτοις καὶ τὸ κατ' ἀρχὴν τοῦ Προγνωστικοῦ γεγραμμένον καὶ τὸ πρόσωπον 'νεκρῶδες' ὅπερ ἰδίως ὀνομάζουσιν οἱ ἰατροί, ματαίαν ἐπιπλοκὴν γράψει σημείων. οὐδεὶς γὰρ οὕτως ἐστὶν
504 ἀδιανόητος, ὡς μὴ νοεῖν ἧττον μὲν | ἔχειν κακῶς, ᾧ περὶ πνεύμονα μόνον ἢ θώρακα διάθεσίς ἐστι νοσώδης, ᾧ δ' ἐν ἀμφοτέροις, χεῖρον, ᾧ δὲ πρὸς τούτοις καὶ κατὰ γαστέρα, μᾶλλον, εἰ δὲ καὶ καθ' ἧπαρ ἢ ἐγκέφαλον, ἔτι καὶ μᾶλλον. ἅπερ οὖν ἅπαντες νοοῦσιν καὶ χωρὶς τοῦ γραφῆναι, μάτην ταῦτα γράφεται, πλὴν εἰ χάρτας τις ἢ χρόνον ἀπολλύναι βούλεται. τούτου μὲν οὖν ἀεί μοι μέμνησο. πρὸς δὲ τὸ προκείμενον ἐπανέλθωμεν.

τοῖς κεφαλὴν ὀδυνωμένοις ὀσφύος μὲν ἀλγήματα καὶ τραχήλου καὶ ὑποχονδρίου προσθεῖναι λόγον ἔχει. πλειόνων γὰρ ὁμοειδῶν σημείων γενομένων ἅμα, οὐ μόνον τὸ τῆς διαθέσεως εἶδος ἢ γένος ἀσφαλέστερον, ἀλλὰ καὶ τὸ μέγεθος αὐτῆς γνωσθήσεται. προστεθέντος δὲ κώματος ἅμα παραφροσύνῃ καὶ αὐτῶν ἐνδεικνυμένων τὰ κατὰ τὸν ἐγκέφαλον ἔχειν κακῶς, ἥ θ' ἡμετέρα γνῶσις ἀσφαλεστέρα γενήσεται καὶ ἡ διάθεσις μείζων φανεῖται. προσελθούσης δὲ τῆς ἀπὸ ῥινῶν στάξεως οὐκ ἀσφαλεστέραν ἂν ἔτι φαίην ⟨τὴν⟩ διάγνωσιν εἶναι, ἀλλ' ἐπιστημονικὴν καὶ βεβαίαν, ἐνδεικνυμένων τῶν σημείων νενικῆσθαι τὴν
505 κατὰ τὸν ἐγκέφαλον δύναμιν ὑπὸ τοῦ νοσήματος. | εἰ δὲ καὶ τὸ τῆς τετάρτης ἡμέρας προστεθείη, βεβαιότατα ἂν οὕτως εἰδείημεν ἐν μεγάλῃ μὲν εἶναι διαθέσει τὸν ἐγκέφαλον, ὀλεθρίως δὲ τὸν ἄνθρωπον ἔχειν. ἐὰν δέ τις τούτοις προσθῇ „ψυχρὸν δὲ ἐκπνεόμενον ἐκ τῶν ῥινῶν καὶ τοῦ στόματος, ὀλέθριον“ μὲν ἐν πᾶσιν, οὐχ ἥκιστα δὲ ἐπὶ τοῖς

3 Ἱπποκράτης] *Prognost. 25 (II 188, 10 cf. ad 501, 11)* 9 Προγνωστικοῦ] *c. 2 (II 112, 12 sqq.; non extat vox* νεκρῶδες*)* 31 ψυχρὸν . . . ὀλέθριον] *Hipp. Progn. 5 (II 122, 13).*

1 γυμνασίας R 2 ἀνήκουσα *Mewaldt* 3 ὅπερ RT: εἴπερ L 5 δὴ *Mewaldt* 6 εἶναι R: ἢ LT πτύει R 7 τούτου RT: τούτωι L φήσῃ *hic et v. 8 scripsi:* φήσει RLT μέλαινα *ut saepe* L εἰ δὲ RT: εἰ L 8 πάλιν ἔτι κάκιον εἶναι T: πάλιν εἶναι κάκιον ἔτι *(sed corr.)* RT: πάλιν ἔτι τε κάκιον εἶναι L 9 τοῦτο L: τούτῳ RT 10 καὶ τὸ] καὶ *del. Cornarius:* καὶ τὸ *del. Schoene, Kalbfleisch; conicio* ὡς τὸ 11 γράψει LT: γράφων R οὕτως *om.* T 17 τοῦτο T 19. 20 καὶ ὑποχονδρίου καὶ τραχήλου L 21 ἅμα γενομένων RL: γινομένων ἅμα T 22 αὐτῆς *Mewaldt:* αὐτοῦ RLT δὲ RLT: τε *a Basil. edd.* 26 τὴν add. *Mewaldt* εἶναι διάγνωσιν LT 29 προστεθείη *scripsi:* προστεθῇ RT: προστεθεῖναι L βεβαιότατον L: *ambigue* T 31 προσθῇ *ex* πρόσθεν *corr.* R 32 ἐπὶ *Hipp.:* καὶ ἐπὶ R: ἐν LT

προειρημένοις, ἀληθὲς μέν τι φήσει, περιττὸν δὲ πρὸς τὴν ἐν συγγράμμασι διδασκαλίαν, ὥσπερ εἰ καὶ τούτοις προσθείη μέλανα πτύσματα· κακὰ μὲν γὰρ καὶ ταῦτα, διαθέσεως δ᾽ ἄλλης ἐστὶ παρὰ τὰς προειρημένας γνωρίσματα, καθάπερ καὶ τὰ οὖρα. καὶ γὰρ καὶ ταῦτα μελαινόμενα φαῦλόν ἐστι σημεῖον, ἀλλ᾽ ἑτέραν διάθεσιν ἐνδείκνυται.

κατὰ μὲν οὖν τὸ Προγνωστικὸν ἑκάστου τῶν σημείων ἡ δύναμις ἰδίᾳ δηλοῦται καὶ σύνοδος αὐτῶν ἐνίοτε γέγραπται μίαν ἐνδεικνυμένων διάθεσιν, ὡς ἐν ἀρχῇ μὲν ἐπὶ τοῦ νεκρώδους προσώπου, κατωτέρω δὲ ἐπί τε τῶν ἐμπυημάτων καὶ ἐπὶ ὑδέρων καί τινων ἄλλων. ἐνταυθοῖ δὲ πολλάκις ἐν μιᾷ συνδρομῇ τῶν ἑτερογενῶν ἐπιπλέκεται πολλὰ περιττῶς. ἐξέρυθρος | οὖν περίπλυσις ἐν ταῖς ἡπατικαῖς διαθέσεσι **506**
γιγνομένη κακῶς ἔζευκται νῦν τοῖς κατὰ τὸν ἐγκέφαλον. ἔστι μὲν οὖν καὶ αὐτὴ καθ᾽ αὑτὴν οὐκ ἀγαθὸν σημεῖον ἀρρωστίαν ἥπατος ἐνδεικνυμένη, προστεθεῖσα δὲ τῷ κατὰ τὸν ἐγκέφαλον πάθει κατὰ δύο διαθέσεις ἰσχυρὰς ἐνδείξεται τὸν ἄνθρωπον κινδυνεύειν. ἀλλὰ τί τοῦτο; καὶ γὰρ ἐὰν πλευρῖτις καὶ περιπνευμονία καθ᾽ ἕνα γένηται χρόνον, ἐπικινδυνότερόν ἐστιν ἢ εἰ θάτερον ἐξ αὐτῶν μόνον ἐγεγόνει, κἂν δυσεντερικὸς ἐπὶ τούτοις ὁ αὐτὸς ἄνθρωπος γένηται ἔτι, κἂν ὁτιοῦν ἄλλο σὺν αὐτοῖς πάθῃ. ἀλλ᾽ οὐδεὶς ἐν συγγράμματι τοιαύτας ἐπιπλοκὰς διδάσκει.

περιπλύσεις δὲ ὀνομάζει κοιλίας τὰς τῶν λεπτῶν κατὰ τὴν σύστασιν ὑγρῶν διαχωρήσεις, ὡσεὶ καὶ πλύνας τις ὕδατι κοιλίαν ἡμαγμένην ἐξέχει τὸ ὕδωρ. οὕτω δὲ καὶ χολώδης λέγεται περίπλυσις, ὅταν, οἷον ἂν ἐξ ὕδατος ἐγένετο καὶ χολῆς ὀλίγης μιχθέντων, τοιοῦτον φαίνηται διαχωρούμενον. ἀρρωστίᾳ δὲ τῆς καθεκτικῆς δυνάμεως τοῦ ἥπατος, ὡς τὰ πολλὰ δὲ σὺν αὐτῇ καὶ τῆς αἱματοποιητικῆς, τὸ σύμπτωμα τοῦτο γίνεται τοῖς ἐμουμένοις | περιττώμασιν ἀνὰ λόγον. ὅταν μὲν γὰρ **507**
ἡ κατὰ τὴν γαστέρα πέψις ἀμέμπτως γίνηται, τοιοῦτον οὐδὲν ἕπεται σύμπτωμα· βαρυνθείσης δὲ ὑπὸ πλήθους ἢ διαφθορᾶς αὐτῆς ἢ καὶ περιττῶν ὑγρῶν ὑπολειφθέντων ἐν τῷ στόματι τῆς κοιλίας οὐ πάνυ τι χρηστῶν, ἐπὶ τὴν ἀπόκρισιν αὐτῶν ἐξορμῶσα τοὺς ἐμέτους ἐργάζεται. τοιοῦτον δή τι καὶ κατὰ τὴν τοῦ αἵματος γένεσιν ἐν ἥπατι συμβαίνει.

8 ἐν ἀρχῇ] *Prognost. 2 (cf. ad 10, 9)* κατωτέρω] *7 (II 128, 8); 8 (II 130, 12)* 25 *schol.* R Ση(μείωσαι) ὅταν [*l.* ὅτι] τὸ οἷον πλύμμα κρεῶν νεοσφαγῶν δι᾽ ἀρρωστίαν τῆς καθεκτικῆς δυνάμεως, πολλάκις καὶ τῆς ἀλλοιωτικῆς, ἀπὸ τοῦ ἥπατος ἐκκρίνεται.

1 φήσει RT: φησι L συγγράμμασι RT: τοῖς γράμμασι L 3 τὰ προειρημένα LT 8 ὡς *om.* L 9 ἐνταυθοῖ LT: ἐνταῦθα R 11 ἐν *om.* L 13 ἀγαθην *sic* L: αθο͂ν *sic* T 14 προστιθεῖσα δὲ τὸ κ. τ. ἐ. πάθ῀ T 17 ἐξ αὐτῶν μόνον RT: μόνον ἐξ αὐτῶν L: αὐτῶν μόνον *ab Aldo edd.* 18 δυσεντιρικὸς T 19 γράμματι L 23 ἐξέχει RLT *Aldus*: ἐκχέει *a Basil. edd.* οὕτω RL: οἰ^{τ}ω *sic* T 24 οἷον ἂν RT: οὖν L 26 σὺν αὐτῇ κτλ. *inc. f. 198^{r}, contra f. 197^{rv} exhibet* λέλεκται κτλ. *14, 7* T σὺν αὐτῇ L: *post* σύμπτωμα *(26) transp.* RT 27 τοῦτο L: τοῦτο δὲ RT μὲν RL: *om.* T 28 ἀμέμπτως LT: ἄμεμπτος R γίνεται T 30 ὑπαλειφθέντων L: ὑπὸ λυφθέντων T 32 δή τοι T

καὶ διὰ τοῦτο ποτὲ μὲν αἱματώδεις γίνονται διαχωρήσεις, ἐνίοτε δ' ἐξέρυθροι περιπλύσεις, ἐξ αὐτοῦ τοῦ ἥπατος ὑδατώδους ἅμα καὶ αἱματώδους ἰχῶρος εἰς τὴν γαστέρα συρρέοντος ἢ βραχέος αἵματος δριμέος καὶ δακνώδους ὡς ἂν ἡμιπέπτου λεπτοῖς καὶ ὑδατώδεσιν ὑγροῖς ἀναμεμιγμένου καὶ χρωννύντος αὐτάς.

I 3 [I 3. V 510, 6 L.] Αἱ δασεῖαι γλῶσσαι καὶ κατάξηροι φρενιτικαί. |

508 Ἄμεινον ἦν 'τραχεῖαι' γεγράφθαι. σύμφυτον γὰρ ἐχούσης ὑγρότητα τῆς γλώττης τὴν ἐκ τῶν σιαλοχόων ὀνομαζομένων ἀγγείων τε καὶ ἀδένων ἡ μὲν πρώτη ταύτης ἔνδεια δασεῖαν αὐτήν, ἡ δ' ἐπὶ πλέον τραχεῖαν ἐργάζεται, ἡ δ' ἀμετροτέρα ξηρότης ῥήγνυσιν αὐτήν, ὥσπερ τὴν λιπαρὰν γῆν ὁ πολυχρόνιος αὐχμός. οὔκουν οἷόν τε κατάξηρον ἅμα καὶ δασεῖαν εἶναι τὴν γλῶτταν. ἀλλ' ἄμεινον, ὡς ἔφην, γεγράφθαι τραχεῖαν, ὥστε δυοῖν θάτερον, ἢ αὐτὸς ὁ συγγραφεὺς ἀμελῶς ἡρμήνευσεν ἢ ὁ πρῶτος ἐκγραφόμενος τὴν ῥῆσιν ἥμαρτεν. ἀλλά γε ἡ τοιαύτη γλῶττα ξηρότητός ἐστιν ἀμέτρου γνώρισμα· διὸ καὶ τοῖς καυσώδεσι πυρετοῖς ἐπιγίνεται. καὶ ἤρκει τοῦτο διδάξαι τῷ κατὰ τὸν ἐν τῷ Προγνωστικῷ νόμον ἐπὶ τὴν διδασκαλίαν ἀφικνουμένῳ. νοεῖ γὰρ ὁ μανθάνων κατὰ τὸν αὐτὸν λόγον ἔν τε τοῖς τοιούτοις πυρετοῖς γίνεσθαι κἂν τῷ φρενιτικῷ τὴν κατάξηρον γλῶτταν, ἐπειδὴ καὶ τὸ φρενιτικὸν πάθος ὑπὸ τῆς ξανθῆς χολῆς γιγνόμενον θερμὸν καὶ ξηρόν ἐστιν.
509 ἐμοὶ μὲν οὖν ἄμεινον δοκεῖ τὴν λέξιν ἡμαρ|τῆσθαι φάναι, καθάπερ καὶ ἄλλας πολλὰς ἐν πολλοῖς τῶν παλαιῶν ἐπεδείξαμεν ἡμαρτημένας τῶν πρὸ ἐμοῦ γεγονότων οὐκ ἰατρῶν μόνον, ἀλλὰ καὶ φιλοσόφων καὶ γραμματικῶν καὶ ῥητόρων.

ἔνιοι δὲ τῶν ἐξηγησαμένων τὸ βιβλίον ἐπεχείρησαν αὐτῷ βοηθεῖν γλώττας εἰρῆσθαι φάσκοντες δασείας τὰς ποιητικὰς τῆς δασείας φωνῆς. εἶναι γάρ τινάς φασιν οὕτως ὀνομαζομένας φωνάς, ἀφ' ὧν

6 *schol.* R *(post lemma):* ἐν οἷς μορίοις εἰσὶν ἐκκρεμ(ῆ) ἀγγεῖα, ἐποίησεν ἡ φύσις τοὺς ἀδένας σώματα ἀραιά, χαῦνα καὶ σπογγώδη, ἵνα μὴ ἐν ταῖς πηδήσεσι μὴ ἐχόντων τῶν ἀγγείων τόπους, καθ' οὓς στηρίζονται, ῥήγνυνται *(sic).* οὕτως οὖν καὶ ἐν τοῖς ἐκκρεμέσιν ἀγγείοις τοῖς κατὰ τὸ στόμα, λέγω δὴ τοῖς σιαλοχόοις, ἔδωκεν ἀδένας· ἐπεὶ γὰρ ἡ φύσις ἐγίνωσκεν τὴν γλῶτταν εἶναι ἀεικίνητον μόριον καὶ διὰ τὴν ἀεικινησίαν ξηραινόμενον, ἔδωκεν αὐτοῖς τοὺς σιαλοχόους ἀδένας, ἵνα γίνηται ὑγρὸν πρὸς ὕγρανσιν τῆς γλώττης· τὸ γοῦν γενέσθαι τραχεῖαν συμβαίνει διὰ ξηρότητα, τὸ δὲ κατάξηρον γενέσθαι δι' ἄμετρον ξηρότητα.

4 ἡπέπτου T ὑδατώδεσιν ὑγρῶν ὑγρῶν *(sic)* ἀναμεμιγμένων T 6 γλῶσσαι *Hipp.:* γλῶτται RT 7 φρενιτικαί] φ *cum lacuna duarum litt.* T 8 ἦν RT: εἶναι L τραχεῖαι] *scil. pro* δασεῖαι 9 σιαλοχόων ὀνομαζομένων R: σιαλοδόχων ὀν. L: ὀνομ. *om.* T: ὀνομ. σιαλοχόων *Aldus* ἀγγεί *sic* T 11 *post* αὐτὴν *add.* τουτέστι τὴν κάθυγρον R: *om.* LT 12 καταξηρόν τε ἅμα L 15 πρῶτος LT: πρώτως R ἐκγραφόμενος *Wilamowitz:* ἐγγρ. RLT 17 ἐν τῷ RT: ἔν τε L 22 τὴν λέξιν *om.* T 23 ἐπεδείξαμεν RL: ἀπεδείξαμεν T *ante* τῶν πρὸ *ins.* πολλῶν L 25 ῥητορικῶν L 26 ἔνιοι LT: ἔνια R αὐτῷ RT: αὐτῆι *fortasse recte* (*sc.* τῇ λέξει) L

τοὺϲ φθεγγομένουϲ ἀνθρώπουϲ αὐτὰϲ δαϲυϲτόμουϲ ὀνομάζεϲθαι. τὰϲ οὖν τοιαύταϲ φωνὰϲ μετὰ καταξήρου γλώττηϲ φρενιτικὰϲ εἶναί φαϲιν, ὥϲπερ οὐ δυνηθέντοϲ ἂν εἰρηκέναι τοῦ ϲυγγραφέωϲ ʻαἱ δαϲεῖαι φωναὶ μετὰ καταξήρου γλώττηϲ φρενιτικαίʼ. τὸ δʼ ἀντὶ τῶν φωνῶν γλῶτταν εἰπεῖν ἀλλόκοτόν ἐϲτιν. οὕτω γὰρ ἄν τιϲ εἴποι καὶ βαρείαϲ καὶ ὀξείαϲ καὶ μεγάλαϲ καὶ μικρὰϲ γλώτταϲ, ὅταν ὀξεῖαν ἢ βαρεῖαν ἢ μικρὰν ἢ μεγάλην ἐθέλῃ δηλῶϲαι φωνήν, πρὸϲ τῷ μηδʼ ἀκηκοέναι μέ τιναϲ ὀνομαζομέναϲ φωνὰϲ δαϲείαϲ, ὥϲπερ ἤκουϲα μελαίναϲ τε καὶ λευκὰϲ ἐκ μεταφορᾶϲ ὀνομαζόντων ἐνίων, ὥϲτʼ οὐδὲ τίναϲ λέγουϲι δαϲείαϲ οἶδα. τὰϲ μὲν γὰρ βραγχώδειϲ καὶ μελαίναϲ ἐν τοῖϲ Περὶ φωνῆϲ 510 ἔδειξα διʼ ὑγρότητα τῶν φωνητικῶν ὀργάνων γιγνομέναϲ, τὰϲ δαϲείαϲ δέ, εἰ μὲν ἄλλαϲ τινὰϲ παρὰ ταύταϲ λέγουϲιν, ἐχρῆν ἑρμηνεύειν αὐτούϲ, εἰ δʼ ἐκ τούτων τινάϲ, διʼ ὑγρότητα μᾶλλον, οὐ διὰ ξηρότητα τοιαῦται γίνονται φωναί, καθάπερ ὀξεῖαι καὶ κλαγγώδειϲ ἐπὶ ξηρότητι τῶν φωνητικῶν ὀργάνων, ἅπερ ἐϲτὶ τὰ κατὰ τὸν λάρυγγα. τὴν γλῶτταν δὲ οὐ φωνητικόν, ἀλλὰ διαλεκτικὸν ὄργανον ἴϲμεν οὖϲαν, καὶ διὰ τοῦτο παϲχούϲηϲ αὐτῆϲ τραυλίζειν τε καὶ ψελλίζειν ϲυμβαίνει κατὰ τὰϲ διαλέκτουϲ, οὐ βραγχώδη φωνὴν ἢ μέλαιναν ἴϲχειν, οὗ γένουϲ ὑπονοῶ τιναϲ εἶναι νομίζειν ἃϲ αὐτοὶ καλοῦϲι δαϲείαϲ φωνάϲ. ἐγὼ μὲν γάρ, ὡϲ ἔφην, οὐκ ἤκουϲα καλοῦντοϲ οὕτωϲ οὐδʼ ἑνόϲ, καίτοι πολλῶν ἀκούϲαϲ ἰατρῶν λεγόντων δαϲέα βλέφαρα τὰ τραχύτητα ἔχοντά τινα μετρίωϲ, καθάπερ ἡ δαϲεῖα γλῶττα. τὰϲ γὰρ ὁλοκλήρουϲ δαϲύτηταϲ ἐν τοῖϲ βλεφάροιϲ οὐκέτι δαϲύτηταϲ, ἀλλὰ τραχύτηταϲ καλοῦϲιν. ἀνὰ λόγον οὖν πάλιν καὶ ταῦτα τῇ κατὰ τὴν γλῶτταν τραχύτητι. |

I 4 [I 4. V 510, 7.] Τὰ ἐπὶ ταραχώδεϲιν ἀγρύπνοιϲιν οὖρα ἄχροα, μέλανα, ἐναιωρούμενα ἐφιδρῶϲι φρενιτικά. 511

Ϲολοικώδειϲ κατὰ τὴν λέξιν εἰϲὶν οὐκ ὀλίγαι τῶν ἐν τούτῳ τῷ βιβλίῳ ῥήϲειϲ, ὡϲ καὶ διὰ τοῦθʼ ὑποπτεύειν αὐτό τιναϲ εὐλόγωϲ Ἱπποκράτουϲ οὐκ εἶναι. διὰ βραχυλογίαν μὲν γὰρ ἀποκεχώρηκε καὶ τὸ Μοχλικὸν τῆϲ ἰδίαϲ ἑρμηνείαϲ τῶν Ἱπποκράτουϲ βιβλίων τῶν ὁμο-

10 Περὶ φωνῆϲ] *cf. Gal. liber de voce et anhelitu latine ex arab. conversus in Juntinae 1625 Spuriis t. VII f. 62*^{D} *et* ^{FG} 30 Μοχλικὸν] *extat IV 340 sqq. L.*

1 αὐτὰϲ ἀνθρώπουϲ L 2 μετὰ] μετὰξή *sic* T 5 εἴποι (ν supra) LT: εἴπη R 7 ἐθήλῃ *sic* T: ἐθέλει RL τωι L: τὸ RT 8 δαϲείαϲ φωνὰϲ *colloc.* L 11 φρενιτικῶν L 15 ἐϲτὶν κατὰ (*om.* τὰ) T 18 μέλαιν (α supra) R 19 *post* δαϲείαϲ *add.* εἶναι T 21 παχύτητα L 22 δαϲέα T 23 ἀνάλογον LT: ἀνάλογα R 25 ἀγρύπνηϲιν R 26 ἄχρονα μέλανα T: ἄχροα μέλαινα L: μέλανα ἄχρονα, *sed colloc. corr. ipse,* R; *cf. ad 14, 10* ἐναιωρεύμενα L: ἐνεωρούμενα R: ἐναιωρεύμενα *Hipp. Coac. 571:* ἐνῃωρημένα *Hipp. Prorrh.* ἐφιδρῶϲι *Gal. 15, 3; cf. 523, 7. 529, 13 K. al.:* ἐφʼ ἱδρῶτι RLT *(cf. 15, 6):* ἐφιδρῶντα *Hipp.* 29 *post* μὲν γάρ *frustra add.* μὴ T ἀποκεχώρηκε καὶ *correxi:* ἀποκεχωρηκέναι RLT τὸ μοχλικὸν τῆϲ ἰδίαϲ ἑρμηνείαϲ τῶν ἱππ. βιβλ. τῶν ὁμολογουμένων οὐ μόνον τῶν ἄλλων R: τοῦ μοχλικοῦ (μοχλιεικοῦ T) ὄντοϲ (ὄντωϲ T) τῶν ὁμ. ἱππ. βιβλ. οὐ μόνον (δὲ *add.* T) τούτου LT

λοΓουμένων, οὐ μόνον τῶν ἄλλων, ἀλλὰ καὶ τῶν Ἀφοριcμῶν, καίτοι διὰ βραχυτάτης λέξεως ἑρμηνευομένων κἀκείνων· οὐ μὴν cολοικώδης γέ ἐcτιν ἡ ἑρμηνεία κατ᾽ αὐτὸ μετὰ τοῦ καὶ περιγίνεcθαι τῶν ἑρμηνευομένων ὡς λέγειν δεινὸν ὄντα τὸν γεγραφότα τὸ βιβλίον ἐκεῖνο. τουτὶ δὲ τὸ προκείμενον ἡμῖν ἀλλόκοτον ἐν πολλαῖc ῥήcεcιν ἔχει τὴν ἑρμηνείαν, ὥcπερ ἐπὶ τῶν οὔρων ἐν τῇδε τῇ νῦν προκειμένῃ. οὕτω γὰρ ἀκύρωc λέλεκται τὸ ʻἐναιωρούμενα γίνεται τὰ οὖρα᾽, τῶν ἐμφερομένων αὐτοῖc ὀνομαζομένων οὕτωc, οὐκ αὐτῶν τῶν οὔ-
512 ρων. διὸ καί τινες ὑπαλλάξαντες τὴν λέξιν οὕτωc ἔγραψαν· τὰ ἐπὶ ταραχώδεcιν ἀγρύπνοιcιν οὖρα ἄχροα, μέλαcιν ἐναιωρούμενα. ἔνι δ᾽ οὖν καὶ κατὰ τήνδε τὴν γραφὴν τὸ cολοικοφανέc, κἂν ὅτι μάλιcτα δοκῶcιν αὐτὸ φεύγειν ὑπαλλάττοντεc τὴν λέξιν· τὸ γὰρ ἐναιωρούμενα φανερῶc ἐπὶ τὰ οὖρα τὴν ἀναφορὰν ἔχει.

ταῦτα οὖν αὐτὰ καὶ φρενιτικὰ λέγεται, τουτέcτιν ἤτοι cημαίνοντα φρενῖτιν ἢ ποιοῦντα. τὸ μὲν οὖν ποιεῖν οὐκ εὔλογον, τὸ δὲ cημαίνειν οὐκ ἄλογον. εἰ δέ, cημαίνει αὐτῇ τῇ ποιούcῃ αἰτίᾳ τὴν φρενῖτιν κατά τι κοινωνεῖν αὐτά. δέδεικται δὲ τὰ μέλανα διὰ τὸν ὀρρὸν τῆc μελαίνηc χολῆc τοῖc ὑδατώδεcι cυναπερχόμενον περιττώμαcι γίνεcθαι. διττὴ δ᾽ ἐcτὶν ἡ γένεcιc τῆc μελαίνηc χολῆc ἤτοι τῆc ξανθῆc ὑπερωπτημένηc ἢ τοῦ παχέοc αἵματοc· ὑπεροπτᾶται δὲ διὰ θερμαcίαν ἰcχυράν. εἰκότωc οὖν ἔν τε τοῖc καύcοιc ὀνομαζομένοιc πυρετοῖc οὐρεῖται κἀν ταῖc φρενίτιcιν τὰ τοιαῦτα· θερμὰ γὰρ καὶ ξηρὰ τὰ πάθη ταῦτα. χείρω δὲ
513 τῶν οὔρων ἐcτὶ τὰ δι᾽ ὅλων αὐτῶν μέλανα τῶν ἐναιώ|ρημα μόνον ἐχόντων μέλαν. ἀλλὰ κατὰ τὴν προκειμένην λέξιν οὐδὲ τοῦτο διήρθρωται cαφῶc, εἴθ᾽ ὅλα λέγει τὰ οὖρα μέλανα εἴτε μόνα τὰ ἐναιωρήματα. βούλεται οὖν ὁ γράψαc τὴν προκειμένην ῥῆcιν, ὅcτιc ἂν ᾖ, τὰ τοιαύτην ἔχοντα χροιὰν οὖρα γινόμενα ταραχώδεcί τε καὶ ἀγρύπνοιc φρενῖτιν cημαίνειν, ταραχώδειc ἀκουόντων ἡμῶν τοὺc ἀλόγωc ταραττομένουc, ὃ γίνεται βεβλαμμένηc ἐπ᾽ ὀλίγον τῆc διανοίαc. αὐξηθείcηc δὲ τῆc ὀλίγηc ταύτηc βλάβηc οὐ ταραχώδειc ἁπλῶc, ἀλλ᾽ ἤδη παραφρονοῦντεc λέγονταί τε καὶ γίνονται.

περὶ δὲ τῆc ἀγρυπνίαc τί δεῖ καὶ λέγειν ὡc ἕν τι τῶν φρενι-

1 Ἀφοριcμῶν] *IV 458 sqq. L.*

3 γέ R: τε L: τ᾽ T μετὰ τοῦ καὶ L: μετὰ καὶ τοῦ RT 7 τὰ ἐναιωρούμενα λέλεκται L λέλεκται κτλ. *extat f. 197ʳ post* ὡc τὰ πολλὰ δὲ καὶ *(extrema f. 196ᵛ = 11, 26)* T 10 ἀγρύπνοιc RT μέλαcιν *sic* RL *(cf. 523, 4);* μέλανα *fuisse coniecturam,* μέλαcιν *traditum in Galeni Hippocrate (ut in nostris Hipp. codd.) recte docuit Littré* ἐνεωρούμενα R 11 ἔνι RT: ἔνια L δ᾽ οὖν *Kalbfleisch:* γοῦν RLT: γε μὴν *Wilamowitz* 14 ἤτοι cημαίνοντα RL: ὑγιαίνοντα T 16 εἰ δὲ cημαίνει] *distinxi* αὐτῇ *hiat:* τῷ *Wilamowitz* αἰτίᾳ *transponam post* φρενῖτιν τὴν φρενῖτιν *om.* T 17 κοινωνεῖν RLT: κοινωνεῖν ⟨cημαίνει⟩ *Cornarius*: κοινωνεῖ *a Charterio edd.* 18. 19 τοῖc ... χολῆc *om.* LT 19 ἤτοι LT: ἢ R 21 πυρετοῖc κἀν ταῖc φρενίτιcιν οὐρεῖται L 22 τὰ τοιαῦτα L: ταῦτα τοιαῦτα RT *post* τοιαῦτα *addita* κἂν ταῖc φρενίτιcι *delevit ipse* T 23 οὔρων *om.* T ὅλου R αὐτὰ T 24 προειρημένην T 28 ταραχώδη R 29 ἐπ᾽ RLT: μετ᾽ *ab Aldo edd.*

τικῶν ἐστι συμπτωμάτων; ἐκ περιττοῦ δὲ πρόσκειται κατὰ τὴν ῥῆσιν τὸ ἄχροον ἐπὶ τῶν οὔρων· συνεδηλοῦτο γὰρ τῷ μέλασι. τὸ δ' ἐφιδρῶσι δηλοῖ μὲν ἱδρῶτας γίνεσθαι περὶ τὴν κεφαλὴν σημαίνοντας αὐτὴν ὑπὸ πλήθους ἐνοχλεῖσθαι· καὶ εἴη ἂν καὶ ἐν τοῖς ἄλλοις καὶ τοῦτο φρενιτικὸν σημεῖον. ἀκύρως δ' ἡρμήνευται, μὴ δυναμένων ἡμῶν ἐφευρεῖν, τί νοῆσαι δεῖ ἐφιδρῶσι, πότε|ρον οὖρα (πιθανώτατον γοῦν 514 τοῦτο δόξειεν ⟨ἂν⟩ ἀκούεσθαι κατὰ τὴν ἀκολουθίαν τῆς ὅλης ἑρμηνείας) ἢ τὰ πεπονθότα σώματα καὶ πρὸς τούτοις ἔτι τὰ πάθη. ὅπως δ' ἄν τις ἀκούῃ, τό γε τῆς ἑρμηνείας ἄκυρον οὐκ ἔστιν ἐκφυγεῖν, ἀλλὰ καταλιπόντες ταύτην, ὅπως ἂν ἔχῃ, περὶ τῶν γεγραμμένων ἐπισκεψώμεθα.

τὰ μὲν οὖν τῆς ἀγρυπνίας τε καὶ ταραχῆς τῶν καμνόντων ὄντως φρενιτικά, τὰ δὲ τῶν οὔρων τε καὶ τῆς ἐφιδρώσεως οὐδαμῶς. τῶν γὰρ κατὰ τὰς ἀρτηρίας τε καὶ τὰς φλέβας χυμῶν ὅπως ἔχουσιν γνωρίσματ' ἐστὶν τὰ οὖρα, τὰ δὲ φρενιτικὰ σημεῖα τὴν περὶ τὸν ἐγκέφαλον ἐνδείκνυται διάθεσιν, ὥσπερ γε καὶ τὰ κατὰ τοὺς ἱδρῶτας ἄλλων μέν τινών ἐστι διαθέσεων γνωρίσματα, περὶ ὧν εἴρηται πολλάκις, οὐ μήν, ὅπως ἔχει τὰ κατὰ τὸν ἐγκέφαλον, ἱκανὰ δηλοῦν ἐστιν.

ἔνιοι δὲ τῶν ἐξηγησαμένων τὸ βιβλίον ἐκ τῶν ἐν ταῖς Ἐπιδημίαις γεγραμμένων ἀρρώστων ἐκλέγουσιν τοὺς παραφρονήσαντας, οἷς συνέβη ἴσχειν τι τῶν ἐνταῦθα λεγομένων συμπτωμάτων τε καὶ σημείων ἢ ἐν διαχωρήμασιν ἢ ἐν οὔροις ἢ ἐμέτοις ἢ ἱδρῶσιν ἢ ἐξανθήμασιν | ἢ πτύ- 515 σμασιν ἢ κατά τι μέρος ἐνοχλούντων, ⟨μὴ⟩ μέντοι γ' ὄντων φρενιτικῶν τῶν τοιούτων σημείων, ὑπαρχόντων δὲ τοῖς ἀρρώστοις ἐξ ἀνάγκης. ἀδύνατον γὰρ ἦν ἐν αὐτοῖς μηδ' ὅλως εὑρεῖν μὴ ⟨οὐ⟩ τοῖον ἢ τοῖον οὐρεῖν· ὡσαύτως δὲ κἀπὶ τῶν διαχωρημάτων καὶ πτυσμάτων καὶ τῶν ἄλλων ἁπάντων. ἐὰν οὖν ἅμα τοῖς φρενιτικοῖς σημείοις ἐπ' ἀρρώστου τινὸς ὀφθῇ διαχώρημα τοῖον ἢ τοῖον ἄλλοτε, κἄπειτα φρενιτικὸς ὁ ἄνθρωπος γένηται, μοχθηρῶς ἄν τις ἀποφαίνοιτο τὰ γενόμενα σημεῖα πάντα φρενίτιδος εἶναι δηλωτικά. δυοῖν γὰρ θάτερον ὑπάρχειν δεῖ τοῖς ἰδίοις τῶν νοσημάτων σημείοις, ἤτοι διὰ παντὸς ἢ μόνοις συμβαίνειν. ὅταν δὲ μήτε μόνοις ὑπάρχῃ μήτε διὰ παντός, οὐκ ἔστιν ἐκείνων ἴδια. καὶ τοίνυν καὶ τὰ φρενιτικὰ σημεῖα βεβαιότατα μέν ἐστιν, ὅσα

18 Ἐπιδημίαις] *cf. I 9 (II 652, 2. 8)*

2 τῷ *scripsi:* τοῖς RLT 5 ἀκαίρως L 6 ἐφ' ἱδρῶτι *hic* RLT; *cf. ad 13, 26* δεῖ RT: δὴ L *ante* οὖρα *add.* τὰ L πιθανώτατα L 7 ἂν *add. Helmreich* *post* κατὰ *add.* δὲ L 8—10 δ' ἂν . . . ὅπως *om.* L 9 ἀκούῃ *scripsi:* ἀκούοι R: ἀκούει T 12 φρενιτικὰ ⟨σημεῖα⟩ *Mewaldt* τε *om.* LT τῆς RLT *Aldus: om. a Basil. edd.* 13 ἔχωσι L 15 διαθέσει R 16 εἴρηκε T 22 μὴ μέντοι γε *Aldus; mirum si 'barbaram' formam* μέντον *propter hiatum praetulisset Gal.*: μέντοι R: μὲν τον L: μὲν τὸν T 24 μὴ οὐ τοῖον ἢ τοῖον *scripsi (cf. v. 27):* ἢ τοῖον ἢ μὴ τοῖον RT: ἢ τοῖον ἢ τοῖον L, *suprascr.* ἢ τοῖον μὴ ἢ τοῖον ἢ τοῖον ἢ μὴ τοῖον *(sic)* L[1], *ubi verae lectionis vestigium inter discissa membra vulgatae servatum videtur* 28 ἀποφαίνοιτο LT: ἀποφαίνηται R γινόμενα T 30 συμβαίνειν RT: σημαίνειν L 31 ὑπάρχῃ *scripsi:* ὑπάρχει LT: ὑπάρχειν R

διὰ παντός τε καὶ μόνοις ὑπάρχει τοῖς φρενιτικοῖς, εἶθ᾽ ἑξῆς ὅσα διὰ παντὸς μέν, ἀλλ᾽ οὐ μόνοις.

ὑφ᾽ ἡμῶν μὲν οὖν ἐν ταῖς περὶ τούτων πραγματείαις διώρισται ταῦτα καὶ δέδεικται μήτ᾽ ἐν οὔροις μήτ᾽ ἐν διαχωρήμασι μήτ᾽ ἐν ἱδρῶσι
516 μήτ᾽ ἐν πτύσμασι μήτ᾽ ἐν τοῖς ἐμουμένοις | φρενιτικὰ γενέσθαι σημεῖα· τοῖς δ᾽ ἐξηγησαμένοις τὸ βιβλίον ὀλίγου δεῖν ἅπασιν ἔθος ἐστίν, ὡς ἔφην, παραγράφειν τοὺς ἐκ τῶν Ἐπιδημιῶν ἀρρώστους οὐ μόνον ἐπὶ τῆς προκειμένης ῥήσεως, ἀλλὰ καὶ τῶν ὁμοίων αὐτῇ πασῶν. διὰ τοῦτ᾽ οὖν αὐτῶν οἱ ζηλωταὶ πολυλόγοι μὲν γίνονται καθ᾽ ἑκάστην ἡμέραν ἐπὶ τῶν ἀρρώστων, ἰδιώταις δὲ ὅμοιοι φαίνονται προγνώσεως ἕνεκα. τὸ γὰρ συνέχον ἐστὶν ἐν ἅπασι τοῖς προγνωστικοῖς τῆς τῶν νοσημάτων ἰδέας σημείοις, ἐν τῇ περὶ τῶν πεπονθότων τόπων μεθόδῳ γεγυμνάσθαι, περὶ ἧς ἰδίᾳ μοι γέγραπται, καθάπερ γε καὶ περὶ τῶν τὰς κρίσεις σημαινόντων, ὧν ἀγύμναστοί τινες ὄντες ἐξηγεῖσθαι τολμῶσιν τὰς τῶν παλαιῶν ἀνδρῶν βίβλους οὐκ εἰδότες, ὅτι τὸν ἀγαθὸν ἐξηγητὴν ἱκανὸν εἶναι χρὴ κρίνειν πρότερον αὐτόν, ὅσα καλῶς ἢ μὴ καλῶς εἶπεν ὁ συγγραφεύς, ἵνα μὴ τοῖς κακῶς εἰρημένοις συναγορεύων ἀγνοίας ἢ φιλονεικίας ἀπενέγκηται δόξαν. ἐπεὶ δὲ οὐ μόνον ἐν αὐτῇ τῇ ῥήσει τῇ νῦν προκειμένῃ παρατίθενται τοὺς ἐκ τῶν Ἐπιδημιῶν ἀρρώστους,
517 ἀλλὰ καὶ δι᾽ ὅλου τοῦ | βιβλίου τοῦτο πράττουσιν, ἄμεινον εἶναί μοι δοκεῖ τελέως ὅλον ἐκπληρῶσαι τὸν ἐνεστῶτα λόγον. ἐὰν δέ τις ἄχθηται τῷ μήκει νομίζων τῆς προκειμένης ῥήσεως ἴδιον αὐτόν, οὐ κοινὸν ὑπάρχειν ὅλου τοῦ βιβλίου, παρ᾽ ἡμῶν ἀκούσας, ὡς τοῖς μὲν ἐξηγηταῖς ἐν ἁπάσαις σχεδὸν ταῖς ἐξηγήσεσιν, ἐξ ὧν κακῶς παρατίθενται ῥήσεων, οὐ μόνον μακρός, ἀλλὰ καὶ βλαβερὸς τοῖς μανθάνουσιν ὁ λόγος γίνεται, τὰ δ᾽ ὑπ᾽ ἐμοῦ νῦν ἅπαξ ῥηθέντα χρησιμώτατά ἐστιν καὶ τὴν τῶν μελλόντων ἁπάντων ἐξήγησιν σύντομον ποιεῖται, παύσεται μὲν ἐγκαλῶν τῷ μήκει, χάριν δ᾽ εἴσεταί μοι τῆς τῶν διδαχθέντων ὠφελείας ἕνεκα καὶ τῆς τῶν μελλόντων λεχθήσεσθαι συντομίας. γενήσεται δ᾽ ὁ λόγος ὡς ἐπὶ παραδείγματος τῆς φρενίτιδος, ἁπάντων νοσημάτων κοινὸς ὤν.

ἐπεὶ τοίνυν πρόκειται μεθόδῳ τὰ φρενιτικὰ σημεῖα πάνθ᾽ εὑρεῖν, ἀπὸ τῆς τοῦ πάθους ἐννοίας ἀρξώμεθα. δέδεικται γὰρ ἐν τοῖς Περὶ ἀποδείξεως ἀρίστη πάντων τῶν ῥηθήσεσθαι μελλόντων ἀρχὴ τοῦ ζητου-

7 ἔφην] *15, 18* 12 Περὶ τῶν πεπονθότων τόπων] *(VIII 1—452 K.)* 13 Περὶ τῶν τὰς κρίσεις σημαινόντων] Περὶ κρίσεων *ll. III (IX 640—768 K.)* 33—34 Περὶ ἀποδείξεως] *cf. I. Müller Über Gal. Werk vom wissensch. Beweis Abh. d. bayr. Ak. (1895) I Cl, XX, II p. 444—526*

10 ἰδιῶτες RT 11 συνέχον RL: συνεχὲς T, *a Basil. edd.:* συνεχὲν *Aldus* 13 *post* καθάπερ *inseritur f. 198ʳ* τῆς αἱματοποιητικῆς *(11, 26), series restituitur f. 199ʳ* (γε καὶ περὶ κτλ.) T 18 ἀπενέγκοιτο T 21 τελέως L: τέλειον (τ' T) RT 23 ἀκούσῃς T 26 τὰ δ᾽ . . . ἐστι *om.* L 29 καὶ τῆς . . . συντομίας *om.* L 33 εὐνοίας L Περὶ] περ T 34 ῥηθήσεσιν T